Ἀλλ' ἀντιβολῶ σ' ἀπένεγκέ μου τὴν Μορμόνα.
Λαμ. Ἰδού. Δι. παράθες νῦν ὑπτίαν αὐτὴν ἐμοί.
Λαμ. Κεῖται. Δι. φέρε νῦν ἀπὸ τοῦ κράνους μοι τὸ πτερόν.
Λαμ. Τουτὶ πτίλον σοι. Δι. τῆς κεφαλῆς νῦν μου λαβοῦ,
Ἵν' ἐξεμέσω, βδελύττομαι γὰρ τοὺς λόφους.
Λαμ. Οὗτος τί δράσεις, τῷ πτίλῳ μέλλεις ἐμεῖν;
Δικαιοπ. Πτίλον γάρ ἐστιν εἰπέ μοι τίνος ποτέ;
Λαμαχ. Ὄρνιθός ἐστιν. Δι. ἆρα κομπολακύθου;
Λαμαχ. Οἴμ' ὡς τεθνήσει. Δι. μηδαμῶς ὦ Λάμαχε,
οὐ κατ' ἰσχύν ἐστιν, εἰ δ' ἰσχυρὸς εἶ,
Τί μ' οὐκ ἀπεψώλησας, εὔοπλος γὰρ εἶ.
Λαμαχ. Ταυτὶ λέγεις σύ, τὸν στρατηγὸν, πτωχὸς ὤν;
Δικαιοπ. Ἐγὼ γάρ εἰμι πτωχός; Λα. ἀλλὰ τίς γὰρ εἶ;
Δικαιοπ. Ὅστις; πολίτης χρηστὸς, οὐ σπουδαρχίδης,
Ἀλλ' ἐξ ὅτουπερ ὁ πόλεμος, στρατωνίδης.
Σὺ δ' ἐξ ὅτουπερ ὁ πόλεμος, μισθαρχίδης.
Λαμαχ. Ἐχειροτόνησαν γάρ με. Δικαι. κόκκυγές τε τρεῖς.
Ταῦτ' οὖν ἐγὼ βδελυττόμενος, ἐσπεισάμην,
ὁρῶν πολιοὺς μὲν ἄνδρας ἐν ταῖς τάξεσι.
Νεανίας δ' οἵους σὺ, διαδεδρακότας.
Τοὺς μὲν, ἐπὶ Θρᾴκης μισθοφοροῦντας τρεῖς δραχμάς,
Τισαμενοφαινίππους, πανουργιππαρχίδας,
Ἑτέρους δὲ παρὰ Χάρητι, τοὺς δ' ἐν Χάοσι
Γερητοθεοδώρους διομειαλαζόνας.
Τοὺς δ' ἐν Καμαρίνῃ, κἀν Γέλᾳ κἀν Καταγέλᾳ.
Λαμαχ. Ἐχειροτονήθησαν γάρ. Δικαιο. αἴτιον δὲ τί,

A *Vertigine: sed oro, terriculum adimas mihi.*
*LA. Ecce. DIC. amoue nunc resupinam istam galeam mihi.*
*LA. Mota 'st. DIC. nunc aufer à galea pennam mihi.*
*LA. Eccam tibi hanc pennam. DI. tene meum caput,*
B *Vt euomam. Nam cristas has abominor.*
*LA. Ehem, quid agis, vin' tu in pennam vomere, trifur?*
*DIC. Cedò ergo mihi, cuius penna hæc olim fuit?*
*LAM. Auiculæ. DIC. num gloriosæ & turgidæ?*
*LA. Peribis illico. DI. nequaquam Lamache,*
C *Neque enim in potestate tua 'st: sin adeo es potens,*
*Cur non fecisti verpum? quippe armatus es.*
*LAMAC. Hæccine tu mendicus dicas mihi duci?*
*DI. Egóne mendicus sim? LA. quis ergo es?*
*DI. is sum ego,*
*Qui sum, bonus ciuis: non cupidus dominij:*
D *Sed ex quo bellum durat, Militarchides:*
*Tu verò toto bello eras Nummarchides.*
*LA. Suo crêarunt me suffragio. DI. puto,*
*Tres cuculi: ac propterea, hæc execratus, inij*
*Fœdus, quòd canos in acie video viros:*
*Et iuuenes, qualis tu es, tergum dare hostibus:*
E *Et horum quosdam in Thrace, vbi tres drachmas merent,*
*Tisamenophænippos, Dolosipparchidas.*
*Alios apud Charetem, alios in Chaonia,*
*Geretotheodoros, Diomeoferoculos:*
*Alios ad Camarinam & Gelam, gelidos viros.*
*LA. Atenim creati sunt Duces. DI. quid caussæ erat?*
F

Σχόλια Τὴν Μορμόνα.] ἀντὶ τοῦ τὰ φοβερά. φοβερὰ γὰρ ὑπῆρχεν ἡ Μορμώ. ἐνταῦθα δὲ Μορμόνος ὡς τρυγόνος. ἀλλαχοῦ δὲ Μορμοῦς ὡς Σαπφοῦς. Τὸ πτερόν.] πτερὸν αἰτεῖ ἵνα ἐξεμέσῃ. εἰώθασι γὰρ οἱ δυσεμεῖς, πτερῷ χρῆσθαι. Βδελύττομαι] ἀλληγορικῶς ἀπὸ τῶν ἐξεμούντων διὰ τὰς χολάς. τοῦτο δὲ ἐπὶ τοὺς λόφους. Ἆρα κομπολακύθου.] ματαιοκόμπου καὶ κομπώδους ἐν τῷ καυχᾶσθαι. παρεποίησε δὲ καὶ παρέπλασεν ὀνόματα ὄρνιθος διὰ τὸ κομπαστὴν εἶναι τὸν Λάμαχον. ἄλλως. ἀπὸ τοῦ λακεῖν ἐν παραγωγῷ γέγονε τὸ ληκύθιον. ληκυθίζειν γὰρ τὸ μεῖζον βοᾷν καὶ ψοφεῖν. ἦχον γὰρ ἀποτελεῖ καὶ ἡ λήκυθος. ἐπεὶ καὶ αὕτη πεφύσηται. πάντα γὰρ τὰ πεφυσημένα κόμπον ποιεῖ. ἀπὸ οὖν τοῦ κόμπου καὶ τοῦ ληκύθου, ὄνομα συνέθηκεν. Οἴμ' ὡς τεθνήσει.] τὸ τέλειον ἐστὶν οἴμαι. Ἀττικοὶ δὲ, διὰ τοῦ σ φασὶ τεθνήσει. Οὐ σπουδαρχίδης] σπουδάζων περὶ ἀρχῆς. Αἰολέων δὲ ἴδιον τὰ ἐπίθετα πατρωνυμικῷ τύπῳ

φράζειν. Στρατωνίδης] ἀντὶ τοῦ στρατευόμενος στρατιώτης. Μισθαρχίδης] μισθὸν λαμβάνων. ἢ ὅτι τοὺς τῶν στρατιωτῶν μισθοὺς ἤσθιεν. Κόκκυγες] ἀντὶ τοῦ ἄτακτοι καὶ ἀπαίδευτοι. καὶ γὰρ ὁ κόκκυξ τὸ ζῶον ἄμουσόν τι φθέγγεται. Τισαμενοφαινίππους] ὁ Τισαμενὸς, ὡς ξένος καὶ μαστιγίας κωμῳδεῖται. ὁ δὲ Φαίνιππος ὡς ὑώδης καὶ ἑταιρηκώς. ὁ δὲ Χάρης, ἐπὶ ἀμαθίᾳ διεβάλλετο. Πανουργιππαρχίδας] τούτους κωμῳδεῖ ὡς πανούργους, τόν τε Τισαμενὸν καὶ τὸν
G Φαίνιππον καὶ Ἱππαρχίδην, καὶ Γέρητα τὸν φαλακρόν. καὶ Θεόδωρον τὸν Διομείαν τὸν δῆμον ὄντα. ὃς ὠνόμασται οὕτως ἀπό τινος Διόμου. Τοὺς δ' ἐν Χάοσι.] Χάονες μὲν ἔθνος ἠπειρωτικόν. πέπαικται δὲ παρὰ τὸ ἐν Ἱππεῦσιν. ὁ πρωκτὸς ἐστὶν αὐτόχρημ' ἐν Χάοσιν. ἐπειδὴ καὶ εἰς μαλακίαν διεβάλλετο Γέρης καὶ Θεόδωρος· καὶ ὅτι ἐκ δούλων ἦσαν. Κἀν Γέλᾳ] Καμαρίνα καὶ Γέλα πόλις Σικελίας. ἐποίησε δὲ τὸ Καταγέλα, ἀπὸ τοῦ καταγελᾶν αὐτὸν τοὺς στρατηγούς.